Transcription:
ὑπατ̣ε̣ίας Φλαουίων Ἀμαντίου καὶ Ἀλβίνου τῶν λαμπ(ροτάτων)
Αὐρη̣λ̣ί̣ῳ Ἀχ̣ι̣λλεῖ Ἀσκληπιάδ̣ο̣υ πρυ(τάνει) γυμ(νασιάρχῳ) βουλ(ευτῇ)
τῆς λ̣α̣μ̣(πρᾶς) καὶ λαμ(προτάτης) Ὀξυρυγχιτῶν πόλεως
παρὰ Α̣ὐ̣ρηλίο̣υ̣ Παριτ̣ι̣(*) Ἁ̣ρποκρατίωνος ἀπὸ ἐποικ(ίου) θεᾶς
Ἀμ̣ί̣τ̣α̣ς ὑδροπάρο̣χος. [ὁ̣μ̣ολογ]ῶ̣ ὀ̣μνὺς τὸν σεβάσμιον
θῖον(*) [ὅ]ρκον τῶν δεσπό[τω]ν ἡμῶν Αὐγούστων ἑκου-
σίως κ[αὶ αὐθαιρέ]τ̣ως ἐγγυᾶσθαι Αὐρήλιον Αἰ(*)ων(*) Αἴ(*)ωνος
ἀπὸ το[ῦ αὐτοῦ ἐπ]ο̣ι̣κ(ίου) ἀμπελουργὸν ἐπὶ τῷ α[ὐτὸν παρ]α̣-
μεῖνα̣ι̣ ἐ̣ν̣ τῷ αὐτῷ ἐποικίῳ καὶ προσεδρεύειν τῇ καλλιε̣ρ̣-
γία̣ τοῦ αὐτοῦ χωρίου ὑπακούοντα πρὸς τὰ συνθέ̣ν̣τ̣α̣
ὑπ᾽ αὐτοῦ ἢ ἐμὲ τὸν ἐγγυητὴν ἐπάναγκες ὑποστῆναι
πάντα τ̣ὰ πρ̣ὸς αὐ[τὸ]ν̣ [ζ]ητούμενα εἰ̣ς τὸ ἐν μηδενὶ
μέμφ[εσθαι ἢ ἔνοχος εἴ]η̣ν̣ τῷ θίῳ(*) ὅρκῳ.
ὑπατείας τ[ῆς προκειμένης Παῦ]ν̣ι̣ ε.
Α̣ὐ̣ρήλιο[ς Πάρις Ἁρποκρατίωνος] ὤ̣μοσα τὸν θ[ε]ῖ̣ο̣[ν ὅρκον καὶ]
ἐγγυῶμ[αι Αὐρήλιον Αἴωνα Αἴων]ος ἀμπελουργὸν
ὡ̣ς πρόκ[ειται καὶ ἐπερ(ωτηθεὶς) ὡ̣μολ(όγησα) . . . ]ω̣ν Ἀπολλωνίου ἔγραψα
ὑπὲρ αὐτοῦ λεγομένου μὴ [εἰ]δ̣[ένα]ι γράμματα.
(hand 2) δι᾽ ἐ̣μ̣οῦ Ἁρπάλου ἐπι(τετελείωται).
v

(hand 3) ἐγγυὴ Αἰων(*) Αἴωνος ἀπὸ θεᾶς Ἀμ̣ί̣[τας]